ἐβούλου τοῖς Κρονικοῖς σου τουτοισὶ λόγοις θαρρήσας καὶ τρυγὸς τῷ ὄντι B 24v ἀπόζουσι, παῖδες σε νεήλυδες εὐθὺς ἐκ πρώτης ἐκβολῆς κάνθαρον, οὐκ ἄνθρωπον ὄντα ἐξήλεγξαν ἄν. ἡ μὲν οὖν σφετέρα αὐτῶν φωνὴ οὕτω τοι δι' ἀκριβείας σφίσι κατώρθωται. ἤσκηνται δὲ καὶ τὴν ἡμετέραν καλῶς, ὅσοις αὐτῶν πρὸς τῇ σφετέρᾳ καὶ τήνδε μεμέληκε κτήσασθαι, ὡς δὴ καὶ τοὺς ὥσπερ σὺ τὴν Ἑλλάδα ἐπισταμένους φωνὴν μακρῷ παρευδοκιμεῖν. τοῖς μὲν γὰρ τοῖς τῶν παλαιῶν μετ' ἐπιμελείας συνοῦσι συγγράμμασι, τῶν περὶ Δημοσθένη καὶ Ἰσοκράτη φημί, καὶ τῶν ἐκείνων ῥημάτων τε καὶ νοημάτων ἐμφορουμένοις δαψιλῶς συμβαίνει μήτε ὀνομάζοντας πλημμελεῖν τοῖς ἐκείνων χρωμένους ὀνόμασι, κἀν ταῖς συνουσίαις εὐστόχως πρὸς τοὺς λόγους ἀπαντᾶν τοῖς ἐκείνων καθάπερ κανόσι χρωμένους νοήμασιν, εὐπορίαν τε τοῦ λέγειν οὐκ ὀλίγην αὐτοὺς κεκτῆσθαι, τοὺς τῶν παλαιῶν ἐκμανθάνειν λόγους καὶ ἐκμελετᾶν ὅτι μάλιστα ποιουμένους μετὰ σπουδῆς.

6 Αὐτῷ δέ σοι οὐδένων ἄλλων σχεδὸν ἢ τοῖς Λιβανίου συγγράμμασιν ἐντετυχηκότι κατ' αὐτὸν ἀνάγκη καὶ ὀνομάζειν καὶ τοῖς νοήμασι χρῆσθαι, πρὸς δὲ τὰ τῶν παλαιῶν ὄνον τὸ τῆς παροιμίας πρὸς λύραν διατελεῖν. καὶ οὔπω λέγω, ὅτι οὐδ' ἐν τοῖς ἐκείνου εὐδοκιμεῖς, ἀλλὰ καὶ ἐκπίπτεις πολλάκις καὶ καταθραύεις, ὃν εἰσήεις, ὥσπερ οἱ μαλακοὶ τῶν ὑποκριτῶν τοὺς ἥρωας, οὓς ὑποδύονται. ἢν δέ ποτε καὶ δεήσῃ βραχέ' ἄττα ἐξ ὑπογύου εἰπεῖν, διὰ τὸ ὑπ' ἀναλγησίας ἀεὶ διατελεῖν ἀμελέτητον ἄφωνος εὐθὺς γίγνῃ, ῥημάτων οὐδ' ὀλίγων οὐδ' ὁπωστιοῦν εὐπορῶν. τίσι δὲ καὶ ἐντυχὼν τῶν Λατίνων, ὦ βδελυρέ, καὶ γνοὺς ἀπείρους τῶν Ἀριστοτελικῶν συγγραμμάτων, κατη- L 114 γορεῖς αὐτῶν ὡς ἀπ' ἁμάξης βοῶν, ὅτι οὐκ ἴσασι τὰ συγγράμματα; εἰ δὲ Πυθαγόρας ἦσθα ἢ Πλάτων ἢ Ἀριστοτέλης αὐτός, ἀλλὰ μὴ ἐπίτριπτον κίναδος, γαστρὶ δουλεῦον, ἀμαθέστατον ἀνθρώπιον, τί ἂν ἐποίεις;

7 Ἐκεῖνο δέ σε καὶ μάλα οὐδ' ὁπωστιοῦν ἑλληνικῆς μετασχόντα παιδείας ἐλέγχει, ἐφ' οἷς Θεόδωρον φῂς παρὰ Λατίνων εἰληφότα λέγειν τὸ μεῖζον B 25 διαφέρειν τοῦ μᾶλλον, ὡς δὴ μὴ τοιαύτην καὶ τοῖς Ἕλλησιν οὖσαν τὴν χρῆσιν, καὶ ὡς ἔοικεν, ὅσα αὐτὸς οὐκ οἶσθα, τῆς ῥωμαϊκῆς εἶναι νομίζεις φωνῆς. πλεῖστα οὖν πίστευσόν μοι καὶ κάλλιστα διαγράψεις· σχεδὸν γὰρ οὐδ' ὁτιοῦν οἶσθα. εἶτα ἐρωτᾷ, τίνα τῶν γραμματικῶν ἢ φιλοσόφων πεφώρακας τὸ μεῖζον καὶ μᾶλλον λέγοντα διαφέρειν. ἡμεῖς δὲ ἀντερωτήσομεν αὐτόν, τίνα πεφώρακεν αὐτὸς τὸ μεῖζον καὶ μᾶλλον ταὐτὸν λέγοντα. εἰ δέ τις ἢ καταχρώμενος ἀντὶ θατέρου θάτερον ἔλαβεν, ἢ καὶ τῶν λογοποιῶν τις οὕτως ἐχρήσατο, οἷς οὐ τοσοῦτον πρὸς ἀλήθειαν, ὅσον πρὸς ἡδονὴν καὶ κάλλος λέγειν μεμέληκεν, ἀλλ' οὐ λογοποιὸν ἡμεῖς εὐθύνομεν νῦν. ἀλλ' ἃ περὶ Ἀριστοτέλους Πλήθων ἀξιοῖ, ταῦτα καὶ ἡμῖν ἀξιοῦσι περὶ αὐτοῦ συγχωρείτω. φησὶ γοῦν Ἀριστοτέλη εὐθύνων οὐ ῥήτορα εὐθύνειν, ἀλλ' ἄνδρα τὴν τῶν ὄντων ἐπιστήμην ἐπαγγελλόμενον. καὶ Θεόδωρος οὖν Πλήθωνα εὐθύνων οὐ ῥήτορα εὐθύνει, ἀλλ' ἄνδρα τὴν τῶν ὄντων ἐπιστήμην ἐπαγγελλόμενον καὶ πρὸς Ἀριστοτέλη τετολμηκότα νεανιεύσασθαι. ἀλλὰ καὶ Ἀριστοτέλης, φησίν, ἀδιαφόρως τὸ μεῖζον καὶ μᾶλλον

2 ἐκβολῆς B εἰσβολῆς L | 18 καταθραύεις B καταθρήνεις ? L

31 cf. Mich. Ap. Obiect. c. 6, 3. *(supra 168, 25—28)*

Ε.Υ.Δ της Κ.ΤΡ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

ἐκλαμβάνει. καὶ παρέθηκεν ἄν, φησί, τῷ λόγῳ μαρτύρια, εἰ μὴ καὶ τυφλῷ δῆλα ἦν, αὐτὸς ὢν ὁ τυφλὸς ὁ μηδὲ τὰ ἐν ποσὶ καθορῶν. καίτοι εἰ εἶχεν, κἂν εἶπεν, κἂν ἐβόησεν, κἂν ἐκκεκώφωται ἡμῶν τὰ ὦτα περιθρυλλόμενα· »σὺ δ' ᾧ μέλει, φησί, τουτουί, μέτιθι τὰ αὐτοῦ καί, εἰ μὴ λέγοιμι τἀληθῆ, οἷον ἄν με βούλοιο κάλει.« σοὶ δ' οὐ μέλει, Μιχαῆλε, πρὸς τῶν λόγων αὐτῶν. πόθεν οὖν σοφὸς ἀναπέφηνας — Πλάτωνα γὰρ οὐδ' εἶδες — ἢ καθάπερ οἱ γίγαντες ἐσπάρης τε καὶ ἔφυς αὐθημερὸν ὡπλισμένος;

Ἡμεῖς οὖν, οἷς μέλει, τὰ αὐτοῦ μετελθόντες εὕρομεν ἐν μὲν κατηγορίαις 6
τὸ μὲν ποσὸν μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, τὸ δὲ ποιὸν ἐπιδέχεσθαι L 114v
λέγοντα. ἐν δὲ τῷ πρώτῳ τῶν περὶ ἀρχῶν ἀντιλέγων Ἀναξαγόρᾳ, μήτε τὴν μεγίστην μήτε τὴν ἐλαχίστην τιθεμένῳ, δείξας ἀδύνατον, συμπεραίνων φησί· B 25v
»δῆλον τοίνυν ὅτι ἀδύνατον σάρκα ἢ ὀστοῦν ἢ ἄλλο τι ὁπηλικονοῦν εἶναι τὸ μέγεθος ἢ ἐπὶ τὸ μεῖζον ἢ ἐπὶ τὸ ἔλαττον.« ἐκεῖ μὲν οὖν ἀπέφασκε τὸ μᾶλλον καὶ ἧττον τοῦ ποσοῦ, ἀποδιδοὺς τῷ ποιῷ. ἐνταῦθα δὲ τὸ μεῖζον καὶ ἔλαττον ἀφορίζει περὶ τὸ μέγεθος. ταύτης δὲ τῆς δόξης καὶ Ἀρχύτας ἐστὶ λέγων κατὰ λέξιν οὕτως· »καὶ τᾷ ποιότητι δὲ παρέπεται τό τε ἐναντιότητα καὶ στέρησιν ἐπιδέχεσθαι, καὶ τὸ μᾶλλον καὶ ἧσσον.« καὶ αὖθις· »καὶ τᾷ ποσότητι δὲ παρέπεται τὸ μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧσσον.« ὡς δὲ καὶ ὁ ἐν Εὐθύφρονι Σωκράτης τοὺς μὲν περὶ ἀριθμοῦ φησι διαφερομένου τὴν λογιστικὴν ἴσχειν κριτήριον, τοὺς δ' αὖ περὶ τοῦ μείζονος καὶ ἐλάττονος τὴν μετρητικήν, τοὺς δὲ περὶ βαρέος τε καὶ κούφου τὴν στατικήν· τοὺς δὲ περὶ καλοῦ καὶ δικαίου καὶ τῶν τοιούτων, ἐφ' ὧν δηλαδὴ τὸ μᾶλλον καὶ τὸ ἧττόν φαμεν, οὐκ ἴσχειν φησὶ κριτήριόν τι διαφερουμένους, ἐφ' ὃ ἐλθόντας ἂν τῆς διαφορᾶς ἀπαλλάττεσθαι. »οὐ γὰρ ἄν φησι περὶ τούτων ἀλλήλοις ἐστασίαζον.« εἰ τοίνυν τὸ μεῖζον τῷ μᾶλλον ταὐτόν, ἢ τοῦ μείζονος ἡ μετρητικὴ κριτήριον οὖσα, καὶ τοῦ μᾶλλον ἦν ἂν δήπου· ἢ τοῦ μᾶλλον οὐκ οὖσα, οὐδ' ἂν τοῦ μείζονος ἦν· ἢ τοῦ αὐτοῦ κατὰ τὰ αὐτὰ ἦν ἂν καὶ οὐκ ἦν. ἀλλὰ μὴν τοῦ μέν ἐστι, φησὶν ὁ Σωκράτης, τοῦ δ' οὐκ ἔστιν.

Ἐπεὶ τοίνυν εὕρομεν οὐκ Ἀριστοτέλη μόνον ἡμῖν συμφωνοῦντα, ἀλλὰ 7
καὶ Ἀρχύταν, καὶ πρός γε Πλάτωνα, τίνα σε βούλει καλῶμεν; ἀμαθῆ, σοφιστὴν δηλαδὴ καὶ γόητα καὶ ἀπατεῶνα; τουτὶ μὲν οὖν ἐν δίκῃ σὺ σαυτῷ περιέθηκας. τοιοῦτο δ' ὢν κάθαρμα ἄφρονας τοὺς ἄλλους καλεῖς καὶ τὰ μετ' ἀκριβείας πλείστης αὐτοῖς εἰρημένα καὶ τοῖς παλαιοῖς συνῳδὰ ἀρτιγενῆ καὶ νεογνά, αὐτὸς ὢν ὁ τὰ ἀρτιγενῆ κἀκεῖνα ἀνεμιαῖα καὶ ἐξαμβλώματα ὁσημέραι ἀπογεννῶν.

Ἴδωμεν δέ σου καὶ τὴν καλὴν βάσανον· »ἡμεῖς φαμεν, θαυμασιώτατε **24,** 1
ἄνθρωπε, παῖδες Ἑλλήνων καυχώμενοι κἀκείνων τοῖς ἴχνεσι, καὶ οὐχ ἑτέρων B 26
ἑπόμενοι, τὸ μᾶλλον καὶ μεῖζον εἶναι συγκρίσεως.« L 115

---

2 ὁ τυφλὸς L] B *om.* ὁ | 25 μετρητικὴ L μετρικὴ B | 29 Ἀριστοτέλη] Ἀριστοτέλει L B | 31 ἀπατεῶνα] ἀπαταιῶνα L B | 32 τοὺς ἄλλους L] B *om.* τοὺς | 35 βάσανον B *trp. post* ἄνθρωπε

3 Mich. Ap. Obiect. c. 6, 3. *(supra p. 168, 33 sq.)* | 9 cf. Arist. Cat. 7. 6b, 15 | 12 Arist.? | 16 Ps.-Arch. fr. 21 *(ed. F. Schulte)* | 17 Ps.-Arch. fr. 20 *(ed. F. Schulte)* | 18 cf. Plat. Euthyphr. 7 c—e. | 35 Mich. Ap. Obiect. c. 6, 4. *(supra p. 169, 5—7)*

ΙΩΑΝΝΙΝΑ 2006

2 Ἀνδρόνικος. Ἑλλήνων μέν σε παῖδα ἴσμεν καὶ ἀγαθοῦ πατρὸς κάκιστον μέντοι καὶ πατραλοίαν υἱόν. οὐ γάρ σε τοῖς ἴχνεσιν ἐκείνων ὁρῶμεν ἑπόμενον, ἀλλ' ἰδίαν τινὰ βαδίζοντα, καὶ ταύτην ἑωλοκρασίας ἀπόζουσαν. εἶτα λαβὼν τὸ μεῖζον καὶ μᾶλλον εἶναι συγκρίσεως, καὶ προσλαβὼν τὴν σύγκρισιν περί τε οὐσίαν καὶ μέγεθος εἶναι καὶ τὰ τοιουτότροπα, καὶ λίαν ἀγροίκως ἀπαλλάξας τὸν λόγον, μάλα σεμνῶς συμπεραίνει· »ἑκατέρω ἄρα τὼ ὀνόματε οὐδὲν διαφέρετον ἐπὶ πάντων λέγεσθαι τῶν τοιούτων.« τὸ δ' ἐστὶ παραπλήσιον, ὥσπερ ἂν εἴ τις τὸ ποῖ καὶ πόθεν ἐρωτήσεως λέγων, μηθὲν διαφέρειν τούτω τὼ ἐπιρρήματε συνεπέραινε. καίτοι τὸ μὲν ποῖ τὴν εἰς τόπον, τὸ δὲ πόθεν τὴν ἐκ τόπου σημαίνει κίνησιν. ἀντικεῖσθαι δὲ τούτω τὼ κινήσεε καὶ μάλα φαμέν. τὰ δ' ἀντικείμενα ταὐτὸν εἶναι, πῶς ἄν τις φαίη; οὐ γὰρ διότι ἄμφω ὑφ' ἕν τι τὴν ἐρώτησίν ἐστι, διὰ τοῦτο καὶ πάντη ταὐτὸν ἔσται, ἀλλ' ἐφ' ὅσον μὲν ἄμφω πυσματικά, ταὐτόν· ἐφ' ὅσον δὲ διαφόρων κινήσεων πύσματα, οὐ ταὐτόν. οὕτως οὖν καὶ τὸ μᾶλλον καὶ τὸ μεῖζον. καθ' ὅσον μὲν ὑπὸ τὴν σύγκρισιν ἄμφω, ταὐτόν· καθ' ὅσον δὲ τὸ μέν, μεγέθους ὡς δέδεικται, τὸ δέ, ποιοῦ διάφορα. εἰ δέ, διότι τινὲ κατά τι ταὐτὸν ὑπάρχει, διὰ τοῦτο καὶ πάντη ταὐτὸν οἴει, ὅρα σοι λοιπὸν καὶ τὸ λευκὸν καὶ τὸ μέλαν ἐναντίω ὄντε ταὐτὸν πάντη λέγειν, ἐπειδὴ τῷ γένει ταὐτόν. ἄμφω γὰρ χρώματε. καὶ δὴ καὶ σὲ καὶ τὸν ἀλεκτρυόνα οὐδὲν διαφέρειν ἐροῦμεν, ὅτι ἄμφω ζώω ἐστόν. καίτοι μοι καὶ ἄλλοτε τοῦτο συνεχώρησας. καὶ τὰ ὑπ' Ἀριστοφάνους ἐν νεφέλαις εἰρημένα ὑπερφυῶς ἐπῄνεις. εἰ δὲ τοῦτο, ἀντὶ φιλοσόφου τάχιστα ὁ καλὸς ἡμῖν Μιχαῆλος ὡραῖος ἀλεκτρυὼν ἀναπέφανται, καὶ τίς οὐκ ἂν βακτηρίαν λαβὼν ἀμφοτέραις εὖ μάλα κατὰ κεφαλῆς ἐφικέσθαι σου πειράσεται ἀνέδην οὑτωσὶ λήρους κἀκείνους διωλυγίους συμπλέκοντος;

25, 1 Μιχαῆλος. »Εἰ δὴ τὸ ποσὸν ἐν μεγέθει κἂν τῇ οὐσίᾳ, τὸ δὲ μᾶλλον καὶ
B 26v μεῖζον, ἧττόν τε καὶ μεῖον, τὸ ποσὸν συγκρίνει καὶ τὸ ποιόν, τί κωλύει τὸ μεῖζον ἐπὶ μεγέθους λεγόμενον μὴ καὶ ἐπὶ οὐσίας λέγεσθαι;«

2 Ἀνδρόνικος. Εἰ μὲν διὰ τὰ προσεχῆ λήμματα μηδὲν κωλύειν φῇς τὸ
L 115v μᾶλλον καὶ μεῖζον ταὐτὸν εἶναι, σαυτὸν φενακίζεις, οὐχ ἡμᾶς. οὐδὲν γὰρ περαίνεις· οὐ γὰρ τῷ ἐκεῖνα εἶναι ἐξ ἀνάγκης τοῦτο συμβαίνει. εἰ δὲ διὰ τὸ μετὰ ταῦτα τὸ ἑκατέρω τῆς αὐτῆς εἶναι δυνάμεως ἡμῖν ἤδη εἴρηται μὴ εἶναι τῆς αὐτῆς δυνάμεως, καὶ διηυκρίνηται ἱκανῶς, οἵας ἑκατέρω δυνάμεως ἐστόν, Ἀριστοτέλει τε καὶ τῇ πατρίῳ τῶν Ἑλλήνων ἑπομένοις φωνῇ, ἀποδεδείχθω δὲ ὅμως καὶ τῇδε. ἔστω γὰρ ἐφ' ᾧ ποδιαῖον μέν, ἧττόν γε μὴν λευκόν, α. ἐφ' ᾧ δ' ἔλαττον μὲν ποδιαίου, μᾶλλον δὲ λευκόν, β. εἰ δὴ τὸ μεῖζον μᾶλλον ἢ τὸ α τοῦ β μεῖζον ὄν, καὶ μᾶλλον ἂν εἴη. ὑπέκειτο δὲ τὸ β μᾶλλον ἢ τὸ β τοῦ α μᾶλλον ὄν, καὶ μεῖζον ἔσται. ὑπέκειτο δὲ τὸ α μεῖζον ἢ τὸ μὲν α τοῦ β μεῖζόν τε καὶ οὐ μεῖζον, τὸ δὲ β τοῦ α μᾶλλόν τε καὶ οὐ μᾶλλον, ἐπειδὴ τὸ μεῖον

2 πατραλοίαν *cf. 202, 34*] πατρολόαν L B | 16 τινὲ L τινὶ B | 21 ἐπῄνεις *cf. p. 201, 30*] ὑπῄνεις L B | 26 ἧττόν τε καὶ μεῖον L ἧττον καὶ μεῖζον B | 30 δὲ L] B *om.* | 31—32 ἡμῖν . . . δυνάμεως L] B *om.*

6 Mich. Ap. Obiect. c. 6, 4. *(supra p. 169, 8 sq.)* | 25 Mich. Ap. Obiect. c. 6, 4. *(supra p. 169, 9—11)*

Ε.Υ. Δ... Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ταὐτὸν τῷ ἧττον. ὑπέκειτο δὲ τὸ μὲν α τοῦ β ἧττον, τὸ δὲ β τοῦ α μεῖον. καὶ οὕτω δὴ συναληθεύσει ἅμα ἡ ἀντίφασις ἐπὶ τοῦ αὐτοῦ. ἀδύνατον δὲ τοῦτο. ἀδύνατον ἄρα τὸ λέγειν ταὐτὸν τὸ μεῖζον τῷ μᾶλλον. εἶτ', ὦ κάθαρμα, ὥσπερ ἀναγκαῖόν τι συμπεράνας αὐτὸς καὶ ἤδη εἰρηκὼς καὶ καταβαλών, ἀλλ' οὐ τρὶς ἡττηθεὶς μέμφῃ τοῖς ἄλλοις ὡς ἀξιοῦσιν, ἀλλ' οὐκ ἀναγκαῖα δεικνύουσιν, ἀμαθεῖς καὶ κακοήθεις αὐτοὺς ὀνομάζων, αὐτὸς ὢν ἁπάντων, ὧν ἴσμεν, ἀμαθέστατός τε καὶ μοχθηρότατος·

Μιχαῆλος. »Εἰ γάρ τις εἰπὼν μέγεθος μεγέθους καὶ ποσὸν ποσοῦ, καὶ **26,** 1
οὐσίαν εἶναι μᾶλλον ἄλλης οὐσίας, ἔπειτα τὸ μεῖζον προσθείς, ὑφελὼν τὸ μᾶλλον, εἴποι ἂν μείζω οὐσίαν εἶναι ἄλλης οὐσίας καὶ μέγεθος μεγέθους καὶ ποσοῦ ποσόν, ὁ τοιοῦτος δοκεῖ σοι ἂν ἁμαρτάνειν.«

Ἀνδρόνικος. Ἡμῖν μὲν ἁμαρτάνειν, ὦ λῷστε, δοκεῖ. σοὶ δὲ οὔ, φησὶ 2
Μιχαῆλος, ὁ τὸν ἥττω λόγον κρείττω βουλόμενος μὲν ποιῆσαι, μὴ δυνάμενος δέ. οὐκοῦν Ἀρχύτου λέγοντος τὴν ποιότητα τὸ μᾶλλον καὶ ἧττον ἐπιδέχεσθαι — Ἀριστοτέλει γὰρ οὐκ ἂν ἕσποιο σοφὸς ὤν — ἥν τις τὸ μεῖζον καὶ ἔλαττον ἀντὶ τοῦ μᾶλλον καὶ ἧττον μεταλάβῃ, δώσεις σὺ τοῦτο; εἰ γὰρ δώσεις λευκόν, ᾗ λευκὸν λευκοῦ μεῖζον, ἔσται καὶ ἔλαττον. τὸ γὰρ α μεῖζον ὂν τοῦ β καὶ ἔλαττον B 27
αὖθις ἔσται, ἐπειδὴ τὸ β τοῦ α μᾶλλον ὑπέκειτο. καὶ οὕτω μεῖζόν τε τοῦ L 116
αὐτοῦ καὶ οὐ μεῖζον. καὶ ἡ ἀντίφασις ἅμα ἐπὶ τοῦ αὐτοῦ αὖθις συναληθεύσει. αὖθις δὲ τὸ ποσὸν λέγοντος μὴ ἐπιδέχεσθαι τὸ μᾶλλον καὶ ἧττον, οὐδὲν τὸ μεῖζον δήπου καὶ ἔλαττον ἐπιδέξεται. οὐκοῦν μέγεθος οὐκ ἔσται μεῖζον μεγέθους; οὐδ' ὁ Ῥόδου κολοσσὸς ἄρα σοῦ γε πυγμαίου ὄντος, εἰ περιῆν, μείζων ἂν ἦν. οὕτως αὐτὸς ἐπιστήμης εὖ ἥκεις, βάραθρε, καί σοι τυγχάνει ὂν πάνυ τῆς ἀληθείας μεμεληκός.

Μιχαῆλος. »Σοὶ δὲ γραμματικῆς ἐπιμελουμένῳ καὶ πολλὰ περὶ αὐτῆς **27,** 1
ἀπέραντα μέν, μηδὲν δὲ δυνάμενα ὠφελῆσαι τοὺς περὶ ταῦτα σχολάζοντας πεπονηκότι ἔδοξε.«

Ἀνδρόνικος. Που χύτραις λημᾷς, ὅς γε τὰ Θεοδώρῳ περὶ γραμματικῆς 2
συγγραφέντα ἀπέραντα καλεῖς, διὰ βραχέων ὡς οἷόν τε καὶ εἰσαγωγῇ πρέποντα συντεθέντα. ὧν οὐ τὴν εὕρεσιν μόνον, ἀλλὰ καὶ τὴν διάθεσιν ὑπερφυῶς ἐπαινεῖ τις, ἣν μὴ ᾖ βάσκανος κατά σε. οὔτε γὰρ παρεῖταί τι, ὧν ἔδει ῥηθῆναι, ὡς προσῆκεν εἰσαγωγῇ, οὔτ' αὖ εἴρηταί τι πάρεργον ἢ περιττόν. τῇ δ' αὖ μεθόδῳ καὶ διαθέσει οὐδ' αὐτὸς ὁ μῶμος ἔχει τι μέμψασθαι. ἥ τε ἑρμηνεία καὶ μάλα τῇ ὕλῃ πρέπουσα. σὺ δ' οὕτω πόρρω βασκανίας ἐλαύνεις καὶ φθόνου, ὥστε καὶ τὰ πᾶσιν ἐπαινούμενα συκοφαντεῖς. πῶς δὲ καὶ οὐκ ὠφελεῖ; ὅπου γε τὰς σπουδάζοντας περὶ ταῦτα — πλεῖστοι δ' εἰσί — τὰ μέγιστα ὠφέλησεί τε καὶ ὠφελεῖ, εἰ μήπου σέ γε. ἀνήκεστα γὰρ νοσοῦντα οὐδ' ἂν οὐδ' αὐτὸς Ἀπόλλων

---

10 μείζω L μεῖζον B | 12 σοὶ L σὺ B | 16 εἰ L οὐ B | 17 τὸ γὰρ α L] B *om.* α | 20 οὐδὲν L οὐδὲ B | 26 δυνάμενα L δυναμένῳ B | ὠφελῆσαι L ὠφελῆ B | 28 Που χύτραις] πουχύτραις L πουχήτραις B | λημᾷς L λημμᾷς B

8 Mich. Ap. Obiect. c. 6, 4. *(supra p. 169, 14—17)* | 25 Mich. Ap. Obiect. c. 6, 4. *(supra p. 169, 18 sq.)*

Ε. Γ. Ζήσης Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ἰάσαιτο. οὐ γὰρ ἂν ἐφ' ὅτῳ προδήλοις πλημελήμασιν ἑάλως. ὧν δὴ καὶ αὐτοὶ
ἔστιν ἃ ἐπισημηνάμενοι παρεγράψαμεν ἔξω ἐν τοῖς σοῖς, οὐκ ἀξιώσαντες τοῖς
ἡμετέροις τὰ τοιαῦτα ἐγκαταμῖξαι. τὰ δ' ἄλλα παρήκαμεν τοῖς βουλομένοις
ζητεῖν καὶ καταγελᾶν σου. οὐ γὰρ ἡμῖν σχολὴ πάντα σου τὰ ἁμαρτήματα
B 27v κατὰ ἀκρίβειαν ζητεῖν ἄπειρα σχεδὸν ὄντα. ἣν γάρ τις τοῦτο ἕληται, οὐδὲν
ὅτι μὴ διαγράφειν ἀνάγκη αὐτῷ· ἓν γὰρ οὐδὲν σχεδὸν ὀρθῶς σοι εἴρηται.
οὐδὲ γὰρ οὐδ' ἔστιν ἐν σοὶ τῶν καλῶν οὐδέν, οὔτ' ἐν λόγοις οὔτ' ἐν ἔργοις·
φθόνος δὲ μόνον καὶ ἔρις καὶ ἀμαθία καὶ συκοφαντίαι καὶ ψεύδη καὶ ἁπλῶς
L 116v πάνθ' οἷς εἰκός σέ τε καὶ τοὺς οἷος σὺ χαίρειν, ὧν ἐν Θεαιτήτῳ μικρὸν καὶ
δριμὺ τὸ ψυχάριον εἴρηται. οὕτω δ' ἥττων ὁ βδελυρὸς τῆς πρὸς Ἀριστοτέλη
τε καὶ Θεόδωρον βασκανίας ἐστίν, ὥστ' ἀπόδειξιν μὲν τοῦ ζητουμένου χάριν,
ὡς πολλάκις ἔφθην εἰπών, οὐδ' ἡντιναοῦν λέγει, καθάπερ δὲ μελιταῖον κυνίδιον
ὑλακτῶν οὐ παύεται, δῆξαι μὲν καὶ διασπαράξαι βουλόμενος, οὐ δυνάμενος
δέ, δοξομανεῖς καὶ ἀνοήτους καὶ τὰ τοιαῦτα αὐτοὺς ὀνομάζων, αὐτὸς ὢν
δοξομανὴς καὶ ἀναίσθητος καὶ μηδὲν μηδέποτε μήτε δράσας μήτ' εἰρηκὼς
ὑγιές, λογισμῷ μὲν οὐδ' ὁπωστιοῦν, ἀπονοίᾳ δὲ παρὰ πάντα τὸν αὐτοῦ βίον
ἀγόμενος. τοιοῦτον δ' ὄντα τὸν ταλαίπωρον καὶ τοσαύτην ἀμαθίαν νοσοῦντα
καὶ δέον ξυνωσθέντα που σιγῇ καθῆσθαι, μηδεμίαν ἐπιστήμην λόγων ἑαυτῷ
συνειδότα, ἀλλὰ μὴ ἀνταποδυσάμενον εἰς τὸν ἀγῶνα καθεῖναι, οὕτω παναισχῆ
καὶ ῥυπῶντα τοῖς θεαταῖς φανήσεσθαι μέλλοντα, ἐν λόγοις Θεοδώρῳ παραβαλλόμενον.
ὁδ' ἀντεπιδεῖξαι τὸ τῶν λόγων εἶδος αὐτοῦ πάνυ τοι ῥυσὸν ὂν
οὐκ ἔδεισεν, οὐδ' εἰ μή τι ἄλλο, τὰς μυθολογικὰς γοῦν γραίας οὐκ εὐλαβηθείς,
ἵνα μὴ λάχωσιν αὐτῷ τὴν ἐξούλης οὕτως εἰκῇ μύθους καὶ φλυαρίας συνείροντι,
καὶ τὰ σφῶν αὐτῶν ὑφαρπάζοντι καὶ ἰδιουμένῳ ἐπιτηδεύματα.

**28, 1** Ταυτὶ μὲν οὖν σοι παρ' ἐμοῦ τἀπίχειρα περὶ τούτων ἀποτετίσθω. ἐπεὶ τὸν
ἐμὸν Ἡρακλέα, ᾧπερ ἀντιλέγειν ὑπέστης, ἀνθοπλισθῆναι κατὰ σοῦ νῦν οὐ
θέμις, κατ' ἄλλων τε αὐτὸν δικαιότερον ὂν χρῆσθαι τῷ ῥοπάλῳ τῶν λόγων
καὶ ἅμα ἐμὲ κεκτημένον σύμμαχον, σέ τε ἀμυνόμενον λόγῳ αἱρεῖν ἱκανόν,
κἂν τις σου κρείττων ἄλλος ὑπὲρ σοῦ προέληται διαμάχεσθαι.

2 B 28 Ἴδωμεν δέ σου καὶ τὸν ἐπίλογον, ἐπεὶ κἀν ἐκείνῳ συχνά σοι ἡμάρτηται,
πρῶτον μὲν οὖν σε ἐκεῖνο καὶ μάλιστα φενακίζειν δοκεῖ, οἰόμενον βοηθῆσαι
Πλήθωνι καὶ ἀφοσιώσασθαι καθάπερ πατρί, οὐ βεβοηθηκότα, ἀλλὰ καὶ
καταβαλόντα τὸ σὸν μέρος. καὶ εἰ περιῆν Πλήθων, ἀπελήλακεν ἄν σε μακρὰν
καθάπερ τινὰ πατραλοίαν, ἱκανάς σοι πρότερον ἐπιτρίψας πληγάς, ἐπεὶ τῷ
Πλάτωνι λέγων τίθεσθαι, τοὐναντίον νῦν ὅμως, ἢ τοῖς ἐκείνῳ τιθεμένοις
L 117 προσῆκε, ποιεῖς Θεοδώρῳ μεμφόμενος τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγοντι,
αὐτὸς οὐδέποτε τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγων, ὡς ὄντος ἀρετῆς μὲν τούτου,
κακίας δ' ἐκείνου. Πλάτων δὲ φρονιμωτάτου τε ἀνδρὸς τὸ πρᾶγμα τοῦτο
νομίζει, καὶ τὴν οὐρανίαν κίνησιν τῷ κατὰ τὰ αὐτὰ ἀεὶ φέρεσθαι περὶ νοῦν

---

1 ὅτῳ L οὕτω B | 3 ἐγκαταμῖξαι L ἐκαταμίξαι B | 12 μελιταῖον L μελιτταῖον B | 18 ξυνωσθέντα *scripsi* ξυνωθέντα LB | 27 κατ' ἄλλων τε L] B *om.* τε | 33 καταβαλόντα L *corr. ex* καταβαλλόντα B

10 cf. **Plat. Theaet.** 195a.

Ε.Υ.Δ της Κτ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

καὶ φρόνησιν μάλιστα οὖσαν ἀποδείκνυσιν. Καλλικλεῖ τε κατηγοροῦντι Σωκράτους, ὥσπερ σὺ Θεοδώρου, ὡς δὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγοντος, τὴν ἐναντίαν ἐκείνῳ Σωκράτης μέμφεται μέμψιν, ὡς μὴ τὰ αὐτὰ περὶ τῶν αὐτῶν λέγοντι. οὕτω σὺ τῆς Πλατωνικῆς πόρρω φιλοσοφίας ἐλαύνεις καὶ τῶν ἐκείνου κακῶς ἐπαΐεις δογμάτων.

Ἡμῖν μὲν οὖν ἀποχρώντως πρός γε τὴν σὴν ἕξιν εἴρηται περὶ τοῦ ζητου- 3
μένου διὰ βραχέων Ἀριστοτέλει τε καὶ Θεοδώρῳ συνηγορηκόσι καὶ ἀφοσιωμένοις τοῖς ἀνδράσι δικαίοις οὖσι. μακρότερον δὲ ἀποτείνειν περὶ τούτου λόγον οὐκ ᾠήθημεν δεῖν, ἀκριβέστερον τὸ ζητούμενον ἐπεξεργάσασθαι νῦν παραιτησάμενοι, ταῖς ὁλοσχερεστέραις ἀρκεσθέντες ἐφόδοις, τῆς σῆς ἕξεως στοχαζόμενοι. ἀπελήφθης γὰρ ἂν πάντῃ καὶ οὐκ ἐπηκολούθησας, εἰ βαθύτερον τῶν ζητημάτων ἡψάμεθα, ἐπεὶ καὶ νῦν εἴρηταί τινα τὴν σὴν ὑπερβάλλοντα ἕξιν. ἅμα δὲ καὶ ἡμῖν περί τε ἄλλα ἀσχόλοις οὖσι καὶ τὰς ἐπιστήμας ῥωμαϊστὶ τοῖς ἑταίροις ἀναγινώσκουσιν οὐ ῥᾴδιον ἦν ἀκριβέστερον τὰ τοιαῦτα ἐπεξεργάζεσθαι.

Ἀρκεῖ δὲ ὅμως καὶ ταῦτα τὸ ἀληθές σε διδάξαι καὶ πεῖσαι γνόντα σαυτὸν 4
ὑφεῖναί τι τοῦ τύφου. καὶ σοὶ συμβουλεύομεν — οὐ γάρ σοι φθονοῦμεν, ὥσπερ B 28ᵛ
αὐτὸς τοῖς ἄλλοις — εἰς Ἰταλίαν ἀφικέσθαι τὴν ἀγαθήν, πολλὰ τῇ οἰήσει χαίρειν εἰπόντι, ἣν ἔχεις περὶ σαυτοῦ, πάντα εἰδέναι νομίζων, μηδὲν εἰδώς, καὶ παρὰ τοὺς τῇδε φοιτῆσαι σοφοὺς χρόνον συχνόν. οὐ γὰρ ἐν βραχεῖ χρόνῳ θηρᾶται τὸ ἀληθές· ἐν βυθῷ γὰρ κατὰ Δημόκριτον κεῖται. τό τε γὰρ ἀληθὲς εἴσῃ, ὁπήποτ' ἂν ἔχῃ, ἀπαλλαγεὶς τῆς νῦν ἀμαθίας, ᾗ σε συνεχόμενον καθάπερ καταβολῇ πυρετοῦ ἢ λέπρᾳ διὰ παντὸς ἡκούσῃ τοῦ σώματος ὁρῶ, καὶ Πλήθωνι
οἷός τ' ἔσῃ ἀμύνειν ἢ καὶ Ἀριστοτέλει, ἣν βούλει. καὶ οὓς νῦν καλεῖς ψελλι- L 117ᵛ
ζομένους, πείσθητί μοι, τότε σοφωτάτους ἐρεῖς. ἢν μὲν οὖν πείθωμεν τὰ λῷστά σοι συμβουλεύοντες, ἃ δὴ καὶ ἡμῖν αὐτοῖς συνεβουλεύσαμεν, εὖ ἂν ἔχοι. ἢν δὲ μὴ πείθωμεν, ἀλλ' ἔτι συνοικεῖν ἐθέλῃς τῇ ἀμαθίᾳ καὶ δοκεῖν, ἀλλ' οὐκ εἶναι καλός, ἔτη γεγονὼς ἤδη πλείω τριάκοντα, καὶ τῶν νῦν ἡμῖν εἰρημένων ἀντιλαβέσθαι βούλῃ καὶ λοιδορήσασθαι τὰς σὰς ἡμῖν μοχθηρίας προστριβόμενος, ὥσπερ εἴωθας, τῶν μὲν λοιδοριῶν, ἃς ἐρεῖς, οὐ πάνυ τοι λόγον ποιησόμεθα, οὐ μᾶλλον ἢ πορνιδίων προϊσταμένων λοιδορουμένων τε καὶ τὰ οἰκεῖα ἡμῖν προστριβομένων ὀνείδη. πρὸς δὲ τὰς ἀντιλήψεις, ἤν τι λόγου φανῶσιν ἡμῖν ἄξιον ἔχειν καὶ μὴ πάντῃ παίδων ἀθύρμασιν ὦσιν ὅμοιαι, ἀποκρινούμεθα ἀκριβέστερον τὸ περὶ τούτου ἐπεξεργαζόμενοι, Θεοδώρῳ τε τῷ σοφῷ καὶ ἡμῖν αὐτοῖς ἀμύνοντες. τανῦν δὲ καὶ ταῦτα ἀπόχρῃ.

2 Θεοδώρου L Θεόδωρον B | 4 φιλοσοφίας L σοφίας B | 5 κακῶς L καλῶς B | 8 ἀποτείνειν L] B *om.* | 12 ἀπελήφθης B ἀπελείφθης L | 14 ἐπεξεργάζεσθαι L] B *sic corr. ex* ἐπεξεργάσασθαι | 20 συχνόν L συχρόν B | 22 ἔχῃ L B

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# THEODORI GAZAE
## ANTIRRHETICON.

Das Antirrheticon des Theodoros Gazes, eine Erörterung über die abstrakten Begriffe (τὰ εἴδη χωριστά) im aristotelischen Sinne, entstammt einer gelehrten Fehde, die von einer Äußerung Bessarions über die platonischen Ideen ihren Ausgang genommen hatte. Bessarion hatte in seinem In Calumniatorem Platonis die Frage aufgeworfen: »εἴ τινα χωριστὰ εἰσὶν εἴδη ἢ πάντη ἀχώριστα, καὶ εἰ χωριστά, πότερον καθ' αὑτὰ ὑφεστῶτα ἢ ἐν ψιλαῖς κείμενα ἐπινοίαις.«[1] An dieser Äußerung übte Johannes Argyropulos Kritik. Da ihm nur die lateinische Übersetzung zur Verfügung stand, versuchte er es mit einer Rückübersetzung ins Griechische: »πότερόν τινα εἴδη ἐστὶ κεχωρισμένα ἢ πρόρσους ἀχώριστα, καὶ εἰ κεχωρισμένα, πότερον καθ' αὑτὰ ὑφέστηκεν ἢ ἐν δευτέραις ἐπινοίαις κεῖται.« Diesen Tatbestand erfahren wir durch Gazes, der zu Beginn seiner Gegenschrift auf die Unzulänglichkeit der von Argyropulos angewandten Methode und die daraus sich ergebenden Mängel aufmerksam machte.[2] Daß Argyropulos jener Kritiker war, wird von Gazes nicht gesagt, ergibt sich aber aus dem Brief Bessarions, den dieser als Begleitschreiben zu Gazes' Antirrhetikon dem Gräzisten zu Florenz zugehen ließ, wobei er ihn bat, die Schrift „ohne Zank und Galle zu lesen und zu beantworten, wenn er es für nötig halte."[3] Der Brief Bessarions ist in dem unten namhaft gemachten Codex Laurentianus dem Antirrheticon nachträglich vorangesetzt.

Argyropulos' Schrift, eine weitere Abhandlung zur Verteidigung Platons, wahrscheinlich gegen Georgios Trapezuntios, ist bis jetzt noch nicht wiedergefunden worden. Seine Sondermeinung gegenüber Bessarion hatte Argyropulos in einer umfangreichen Einleitung dargelegt, die in ihren hauptsächlichen Stellen in den von Gazes aufgenommenen Auszügen vorliegt. Das ergibt sich aus Bessarions Begleitschreiben zu Gazes' Antirrheticon: »Ἀνέγνωμεν ἃ πρὸς τὰ ἐν προοιμίοις τῆς ὑπὲρ Πλάτωνος ἀπολογίας ἐνιστάμενος γέγραφας.« Nach einer Äußerung Gazes' (καὶ ἐν ἄλλοις τῷ ἡμετέρῳ ἐπιστέλλων αὐθέντῃ[4]) scheint dieses Prooemium in die Form eines Briefes an Bessarion eingekleidet gewesen zu sein.[5]

Gazes ging in seinem Antirrheticon, das wohl als die bedeutendste Schrift dieses Aristotelikers zu erachten ist, in tiefgründiger

---

[1] Bess. In Cal. Plat. I 1, 1 *(ed. p. 2, 15—17)*. [2] Theod. Ant. c. 2 *(infra p. 207)*.
[3] Bessarions Briefe n. 63. [4] Theod. Ant. c. 58 *(infra p. 225, 13)*.
[5] Argyropulos' Reden, Abhandlungen und Briefe bei Σπυρ. Π. Λαμπρός, Ἀργυροπούλεια. Ἐν Ἀθήναις 1910.

Ε.Υ.Δ. ΦΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Untersuchung auf die aufgeworfene Frage ein. Er war sich selber bewußt, daß er es genau nehme, und beugte gegen die etwa aufkommende Meinung, daß er sich in Kleinlichkeiten verliere, mit den Worten vor: »δῆλον οὖν, ὅτι πλημμέλημα οὐθὲν ἐν τοῖς προβλήμασι τούτοις ὑπάρχει, εἰ μή τις πλημμελεῖν λέγοι τὸ μὴ σχόλια γράφειν καὶ ἐξηγήματα, ἀλλὰ λόγου φιλοσόφου χαρακτῆρι χρῆσθαι.«[1] Trotz aller Meinungsverschiedenheit führte Gazes seine Auseinandersetzung mit Argyropulos, im Gegensatz zur polternden Humanisteninvektive auf rein wissenschaftlichem Boden. Daß beide von altersher miteinander sehr befreundet waren, erfahren wir aus einem Briefe Gazes' an Fr. Filelfo aus seiner Zeit zu Ferrara (1447—50): »παρὼν δὲ καὶ ὁ ἡμέτερος Ἰωάννης ὁ Ἀργυρόπουλος, πάλαι μὲν γνώριμος ὢν τῷ ἀρχιερεῖ, νῦν δὲ εὐεργετούμενος καὶ τιμώμενος μεγαλοπρεπῶς.«[2] Die Abfassungszeit der Schrift ist in die Zeit von 1469—72 zu verlegen, da erst seit 1469 Bessarions In Calumniatorem Platonis im lateinischen Druck dem Johannes Argyropulos zur Verfügung gestanden hat.

Über das Antirrheticon hat L. Stein die Angabe gemacht: Gazes habe eine Andeutung in Bessarions De natura et arte aufgegriffen und in dieser Schrift „die Einseitigkeiten Gemistos Plethons, der ad maiorem Platonis gloriam eine Verkleinerung und Herabwürdigung des Stagiriten vorgenommen hatte, in eine etwas scharfe, vielleicht allzuscharfe Beleuchtung gerückt".[3] Die Veranlassung durch De natura et arte und die Annahme, daß das Antirrheticon sich gegen Plethon richtete, hat schon A. Gercke als unrichtig gekennzeichnet.[4] Die Seichtheit und Hinfälligkeit des weiteren Urteils ergibt sich für jeden, der nur in etwa auf den Inhalt der Schrift Theodors eingeht. Zudem steht das Antirrheticon mit den früheren Auseinandersetzungen über den aristotelischen Substanzbegriff in gar keinem Zusammenhang. Plethon wird überhaupt nicht genannt. Ebensowenig findet sich in Gazes' Abhandlung De substantia eine Bezugnahme auf das Antirrheticon,[5] das viel später anzusetzen ist.

Die vorliegende Erstausgabe von Gazes' Antirrheticon beruht auf folgenden Handschriften:

a) Florenz, Bibl. Med.-Laur. Plut. 55, Cod. gr. 13 (= L).
b) Rom, Cod. Vat. gr. 1393 (= B).
c) Mailand, Bibl. Ambr. Cod. gr. D 118 inf. (= D).
d) Mailand, Bibl. Ambr. Cod. gr. R 111 sup. (= R).
e) Mailand, Bibl. Ambr. Cod. gr. P 119 sup. (= P).

**L** (Cod. chart. 22,5 × 17 cm, 28 fol. XV saec. ex.) enthält nur Gazes' Antirrheticon mit dem oben genannten Brief Bessarions an Johannes Argyropulos (fol. 1v). Die durchweg sehr sorgfältige Schrift ist die des ausgehenden 15. Jahrhunderts. Zuweilen hat eine zweite Hand ($L^2$) am Rande Verbesserungen von Versehen des ersten Schreibers nachgetragen. Die Handschrift, die älteste der oben genannten, dürfte nicht zu weit von der Entstehungszeit des Antirrheticons abzurücken sein.

[1] Theod. Ant c. 26. [2] Bei Σπ. Λαμπρός, Ἀργυροπουλεῖα. S. 311, 10—12. Vgl. unten Briefe. [3] Archiv f. Gesch. d. Phil. II (Berlin 1889) 451. [4] A. Gercke, Theodoros Gazes. 38, 45, n. 3. [5] Archiv II 453 n. 62.

Ε.Υ.Ζ.Τ.Ι.Κ.τ.ΙΙ ΙΩΑΝΝΙΝΑ 2006

**B** (Cod. chart. 31 × 21 cm, 133 fol. XV saec. ex.) enthält neben anderen Texten das Antirrheticon auf fol. 10—33. Die Schrift ist sorgfältig, ähnlich der in L. Zuweilen hat die erste Hand Berichtigungen am Rande nachgetragen. Zeitlich wird B wohl nicht viel später als L anzusetzen sein.

**D** (Cod. chart., 164 fol., fol. 1—122 und fol. 161—164: 34,5 × 23,2 cm, fol. 123—160: 28,3 × 18 cm, fol. 161—164: 34,5 × 23,2 cm, XVI saec.) enthält das Antirrheticon auf fol. 1—28. Sonst bietet der Sammelband Schriften Bessarions, Gazes' und andere zeitgenössische Texte, auch Briefe (vgl. oben S. 152. 158 f.). Die Schrift des Antirrheticons ist sorgfältig in dünnen Strichen ausgeführt.

**R** (Cod. chart., 35,3 × 23,5 cm, 361 fol. XVI — XVII saec.) ist ein Sammelband, der die verschiedensten Stoffe lateinisch, griechisch und italienisch enthält, von ganz verschiedenen Händen und zu verschiedener Zeit geschrieben. Die Abschrift des Antirrheticons ist nach dem Schriftcharakter bedeutend jünger als L und B.

**P** (Cod. chart., 27 × 20 cm, 36 fol. XVI—XVII saec.) enthält das Antirrheticon und Briefe von Gazes. Die Schrift der Briefe ist älter; die des Antirrheticons zeigt neueren Charakter.

Der Text wird in seiner Güte durch die Handschriften zur Genüge gewährleistet. Die Handschriften weisen unter sich Unterschiede auf, die erkennen lassen, daß alle auf verschiedene, aber doch verwandte Vorlagen zurückgehen. L bietet mit wenigen Ausnahmen gegenüber den anderen bessere Lesarten. Er scheint dem Archetyp am nächsten zu stehen. Mit L stimmt am meisten von allen übrigen Handschriften B überein. Doch enthält B auch Verschlechterungen, in denen er vielfach mit dem späteren D übereinstimmt. Ebenso finden sich bei B Auslassungen, die auch D aufweist. B und D haben demnach verwandte Vorlagen benutzt. Andererseits bietet D einige Male einen besseren Text als B, und zwar in Übereinstimmung mit L. Seine Vorlage stand demnach L näher als die des B. In einigen Fällen, wo D und der sonst so fehlerhafte R eine bessere Lesart als L bieten, mag es sich um Zufälligkeiten oder um Selbstberichtigungen der späteren Abschreiber handeln.

Auffallend ist in R eine größere Umstellung. Auf fol. 170 v. findet sich ein viel späterer Kontext vom Umfang etwa einer Seite. Es legt sich die Annahme nahe, daß R von losen Blättern abgeschrieben hat und daß unter diesen eine Unordnung eingetreten war, die der Schreiber nicht beachtet hat. Diese Umstellung verrät aber auch die Herkunft von P, der sowohl die gleiche Unordnung wie die Textgestalt von R übernommen hat. Für die Ausgabe des Textes kommt der ganz junge P nicht in Frage.

Ε.Υ. Δ.Ν.Ε. Κ.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

## Θεοδώρου τοῦ Γαζῆ L 3 B 10 D 1 R 167

## Ἀντιρρητικόν.

Εἴρηται Βησσαρίωνι τῷ πατριάρχῃ ἐν τοῖς ὑπὲρ Πλάτωνος λόγοις, ὡς 1.
ἐλπίσειε μὲν ἄλλα τε τῶν σπουδαιοτέρων θεωρημάτων ἐντεύξεσθαι ἐν τῷ τοῦ ἀντιλέγοντος Πλάτωνι βιβλίῳ καὶ περὶ εἰδῶν, εἰ ἔνια χωριστὰ ἢ πάντῃ ἀχώριστα, καὶ εἰ χωριστά, πότερον καθ' αὑτὰ ὑφεστῶτα ἢ κείμενα ἐν ἐπινοίαις· μηθὲν δὲ εὕροι τοιοῦτο, ἀλλὰ λοιδορίας μόνον καὶ σκώμματα. συγγέγραπται δὲ ταῦτα Ἑλλήνων τε καὶ Ῥωμαίων φωνῇ. ἀλλὰ τὰ μὲν τῇ Ῥωμαίων συγγεγραμμένα ἐκδέδοται δή, τὰ δὲ Ἑλλήνων οὔπω. διὸ καὶ τῶν ἐντυγχανόντων τῇ συγγραφῇ, οἷς ἥδιον ἑλληνιστὶ περὶ τῶν ἐν αὐτῇ λεγομένων διαλέγεσθαι, ἄλλοι ἄλλως μεταφράζοντες χρῶνται τῷ λόγῳ, ὡς ἔτυχον ἕκαστοι λόγων ῥωμαϊκῶν τε καὶ ἑλληνικῶν ἐμπειρίας ἔχοντες.

Καὶ δὴ οὖν τις οὐκ ἐπαινῶν, ὡς ἔοικε, τὸ περὶ εἰδῶν οὕτω ῥηθὲν ἐπιλαμ- 2.
βάνεται τοῦ λόγου γράφων ἑλληνιστὶ καὶ μεταβάλλων οὑτωσὶ τὸ ῥωμαϊκὸν γράμμα· »πότερόν τινα εἴδη ἐστὶ κεχωρισμένα ἢ πρόρσους ἀχώριστα, καὶ εἰ κεχωρισμένα, πότερον καθ' αὑτὰ ὑφέστηκεν ἢ ἐν δευτέραις ἐπινοίαις κεῖται.« εἰ δὲ δὴ καλῶς ἢ μή, οὔπω δῆλον, πλὴν ὅτι τὸν αὐτὸν ἑρμηνέα τε εἶναι τοῦ λόγου καὶ ἐναντίον μὴ πάνυ τι εἶναι προσῆκον, δῆλον· εἰκὸς γὰρ πρὸς τὸ αὑτῷ λυσιτελοῦν τὸν ἀντιλέγοντα ἑρμηνεῦσαι, εἴ γε ἐρίζειν προῄρηται. ἔδει L 3ᵛ
δ' ἄρα τὸν ἐπιτιμῶντα ῥωμαϊκῷ γράμματι καὶ ῥωμαϊστὶ ποιεῖσθαι τὰς ἀντιλήψεις, ἀλλὰ μὴ μεταβάλλοντα χρῆσθαι ὀνόμασιν οὐ παντελῶς τοῖς αὐτοῖς. B 10ᵛ D 1ᵛ
ἀδύνατον γὰρ καὶ τῷ κάλλιστα πάντων ἑρμηνεύειν ἔχοντι δι' ἀκριβείας ἕκαστα εἰς ἑτέραν μεταβάλλειν φωνὴν καὶ παντελῶς τὸ τῆς σημασίας φυλάττειν ἴδιον. ἐπισκεπτέον δὲ δὴ καὶ περὶ τῶν ἀντιλήψεων, εἰ καλῶς ὁ ἀντιλέγων ἐπιτιμᾷ τε καὶ διαιτᾷ. δεῖ γὰρ μηθὲν ἀπερισκέπτως ἀποφαίνεσθαι περὶ οὐδενὸς μηδ' R 167ᵛ
ἀξιοῦν ἀξιώματα ἄλογα, ἀλλὰ πρῶτον λαβόντας αἰτίας καὶ ὑποθέσεις εὐλόγους, ἔπειτα συλλογίζεσθαι καὶ ἀποδεικνύειν, διότι καλῶς ἢ μή. χρὴ δ' ἴσως τὴν σκέψιν ποιήσασθαι διελομένους διχῇ, ἓν μὲν τί ποτε οἱ ἐν τοῖς προβλήμασι τούτοις ὅροι καθ' αὑτοὺς θεωρούμενοι σημαίνουσι καὶ ὅπως ἔχουσι πρὸς ἀλλήλους, ἓν δὲ ἀφ' ἧς δὴ σημασίας καὶ ἀρχῆς προβαλλόμενα ταῦτα τίνα ἔχει διάνοιάν τε καὶ τάξιν· εἶτα εἰ καλῶς φαίνοιτο εἰρημένα, ἐπιλῦσαι τοὺς ἐναντίους λόγους, ἐχόμενόν ἐστι καὶ τί καὶ ἐξετάσαι· οὐ γὰρ οἱ μὲν τῶν ἄλλων

---

15—16 ἢ πρόρσους ... κεχωρισμένα R *om.* | 19 προῄρηται] προείρηται R | 29 ὅπως] ὅπω R | 30 τίνα LB τινὰ DR | 31 ἐπιλῦσαι] ἐπιλύσας D

1 cf. Bessarionis In Cal. Plat. I 1. | 15 Johannes Argyropulos

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

ὑπεύθυνοι, αὐτοὶ δὲ ἀνεύθυνοι τυγχάνουσιν ὄντες. ὅροι δ' ἐν τούτοις, εἰ καλῶς ἑρμηνεύουσιν οἱ ταῦτα μεταβάλλοντες, ἡμῖν χωριστόν, ἀχώριστον, ὑφεστηκός, εἶδος, ἐπίνοια, ἔνια, πάντη.

3. Ἔοικε μὲν οὖν τὸ χωριστὸν οὐ μοναχῶς λέγεσθαι, ἀλλὰ τὸ μὲν ἁπλῶς, τὸ δέ πως· καὶ τοῦ ἁπλῶς τὸ μὲν ἀσώματον, τὸ δὲ σῶμα. λέγω δ' ἁπλῶς χωριστὸν ἀσώματον τὸ χωριστὸν τῆς ὕλης τῷ εἶναί τε καὶ τῷ λόγῳ. περὶ οὗ εἴρηται ἐν α τῆς φυσικῆς ἀκροάσεως, ὅτι περὶ τῆς κατὰ τὸ εἶδος ἀρχῆς, πότερον μία ἢ πολλαί, καὶ τίς ἢ τίνες εἰσὶ δι' ἀκριβείας, τῆς πρώτης φιλοσοφίας
L 4 D 2 ἔργον ἐστὶ διορίσαι. χωριστὸν δὲ ἁπλῶς σῶμα τὸ ἐξ ὕλης καὶ εἴδους σύνθετον
B 11 τοδί. εἴρηται γὰρ ἐν τῷ θ τῶν μετὰ τὰ φυσικά, ὅτι τὸ »ἐκ τούτων, οὗ γένεσις μόνον καὶ φθορά ἐστι, καὶ χωριστὸν ἁπλῶς«. ταῦτα δὲ ἦν »ἡ ὕλη καὶ ἡ μορφή«. χωριστὸν δέ πως τὸ χωριστὸν τῆς ὕλης τῷ λόγῳ καὶ ἀφαιρέσει καὶ εἴδει· λόγῳ μὲν ὡς τὸ φυσικὸν εἶδος. εἴρηται γὰρ ἐν θ τῶν μετὰ τὰ φυσικά, ὅτι »ὁ λόγος καὶ ἡ μορφή, ὃ τόδε τι ὂν τῷ λόγῳ χωριστόν ἐστιν«· ἀφαιρέσει δέ, ὡς ὁ μαθηματικὸς θεωρεῖ, περὶ οὗ εἴρηται ἐν τρίτῳ τῶν περὶ ψυχῆς, ὅτι νοητά ἐστι καὶ »τὰ ἀφαιρέσει λεγόμενα«, εἴδει δὲ »ὅσα τῶν αἰσθητῶν ἕξεις
R 168 καὶ πάθη«, ᾗ νοητὰ καὶ αἰσθητὰ δήπου. εἴρηται γὰρ ἐν δευτέρῳ τῶν περὶ ψυχῆς, ὅτι »καθόλου ἡ αἴσθησίς ἐστι τὸ δεκτικὸν τῶν αἰσθητῶν εἰδῶν ἄνευ τῆς ὕλης, οἷον κηρὸς τοῦ δακτυλίου ἄνευ τοῦ σιδήρου καὶ τοῦ χρυσοῦ δέχεται τὸ σημεῖον«.

4. Μεταλαμβάνων δ' ἔσθ' ὅτε τοὔνομα Ἀριστοτέλης χρῆται καὶ ἐπὶ τοῦ τῷ λόγῳ χωριστοῦ, καθάπερ ἐν β τῆς φυσικῆς ἀκροάσεως· »τὸν φυσικὸν δεῖ εἰδέναι, φησί, τὸ εἶδος καὶ τὸ τί ἐστι«, »μέχρι τοῦ, τίνος ἕνεκα, καὶ περὶ ταῦτα ἅ ἐστι χωριστὰ μὲν εἴδει, ἐν ὕλῃ δέ«. ἴσως δὲ καὶ κατὰ κοινὸν κέχρηται τῷ ὅρῳ, ὡς ἄρα μηθὲν διαφέρον, εἴτε λόγῳ εἴτε εἴδει χωριστὸν λέγει τις. Σιμπλίκιος δὲ καὶ ἐξ ἀφαιρέσεως χωριστὸν εἶναι τὸ ἐν τῇ ψυχῇ ἀξιοῖ λέγων, ὅτι οἱ πολλοὶ κατὰ τὸ κοινὸν νοοῦσι τὸ ἐν τοῖς κατὰ μέρος, ἐξ ἀφαιρέσεως αὐτοῦ ψιλὴν τὴν κοινότητα λαμβάνοντες. Ἀμμώνιος δὲ ὁ Ἑρμείου καὶ ἀναμάξει χωριστὰ λέγει τὰ γένη καὶ τὰ εἴδη, σαφῶς τε τῇ τοῦ χωριστοῦ κλήσει χρώμενος· τὰ τοιαῦτα, φησί, σωμάτων μὲν χωριστά. οὐδὲ γὰρ ἐν σώματι ὑφέστηκεν, ἀλλ' ἐν ψυχῇ. καὶ πάλιν· »κατηγορεῖται τὸ ζῷον καὶ κατὰ κυνὸς
L 4ᵛ καὶ κατὰ ἀνθρώπου καὶ κατὰ ἵππου. καὶ ἔχει μὲν καὶ ἐν τούτοις ὑπόστασιν.
D 2ᵛ καὶ οὐσίαν μέντοι ἰδίαν ἔχει αὐτὸ καθ' αὐτὸ νοούμενον.« Πορφύριος δὲ τοῦ
B 11ᵛ συμβεβηκότος τὸ μὲν χωριστὸν εἶναί φησι τῷ ἀπογίνεσθαι χωρὶς φθορᾶς τοῦ ὑποκειμένου, τὸ δὲ τῷ ἐπινοεῖσθαι. ἄλλοι δὲ ἀντιλήψει φασὶ τὰ αἰσθητὰ τῶν εἰδῶν χωριστά. Ἰταλιωτῶν δ' οἱ φιλόσοφοι ὡς τῶν τῆς ψυχῆς ἐνεργειῶν ἀντικείμενα χωριστά φασιν.

---

8 πολλαί] πολλά R | 28 ἀναμάξει LBD ἀναμαξ R | 35 ἀντιλήψει LR ἀντειλήψει BD

7 cf. Arist. Phys. α 7. 191a. | 10 Arist. Metaphys. η 1. 1042a, 30 sq. | 14 Arist. Metaphys. η 1. 1042a, 28 sq. | 15 Arist. De Anima γ 8. 432a, 5 sq. | 18 Arist. De Anima β 12. 424a, 17—20. | 22 Arist. Phys. β 2. 194b, 10. | 26 cf. Simplic. De Anima *(ed. Hayduck) p. 276 sqq.* | 30 cf. Ammon. Isag. *(ed. Busse) 11, 25—12, 11.* | 31 Ammon. Isag. *27, 27—28, 1.* | 33 cf. Porphyr. Isag. *(ed. Busse) 12, 24—26.*

ΙΩΑΝΝΙΝΑ 2006